Luc 22 [15-18]
15 Καὶ εἶπεν πρὸς αὐτούς· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο –
16 λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω αὐτό ἕως —
17 Καὶ δεξάμενος ποτήριον εὐχαριστήσας εἶπεν· λάβετε
18 λέγω γὰρ ὑμῖν, οὐ μὴ πίω ἀπὸ τοῦ νῦν ἀπὸ τοῦ γε– –

| Mt. 26 [26-29] | Mc 14 [22-25] |
| --- | --- |
| 26 'Εσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογήσας ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν· λάβετε φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου. | 22 Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ἄρτον εὐλογήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπεν· λάβετε· τοῦτό ἐστιν τὸ σῶμά μου. |
| 27 Καὶ λαβὼν ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· | 23 Καὶ λαβὼν ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. |
| 28 τοῦτο γάρ ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυννόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. | 24 Καὶ εἶπεν αὐτοῖς· τοῦτο ἐστιν τὸ αἷμα μου τῆς διαθήκης τὸ ἐκχυννόμενον ὑπὲρ πολλῶν. |
| 29 λέγω δὲ ὑμῖν, οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γενήματος τῆς ἀμπέλου ἕως ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. | 25 'Αμὴν λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. |

[illegible]

τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν·
ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ·
τοῦτο καὶ διαμερίσατε εἰς ἑαυτούς·
νήματος τῆς αμπέλου ἕως οὗ ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ.

Luc 22 19–20

19 a) Καὶ λαβὼν ἄρτον εὐχαρισ
τήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς
λέγων· τοῦτό ἐστιν τὸ σῶμά μου,

b) τὸ ὑπὲρ ὑμῶν διδόμενον·
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη-
σιν.

20 Καὶ τὸ ποτήριον ὡσαύτως με-
τὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ
ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ
αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυννό-
μενον.

I Cor. 11 23–26

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ
κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι
ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ
παρεδίδοτο ἔλαβεν ἄρτον

24 καὶ εὐχαριστήσας ἔκλασεν
καὶ εἶπεν· τοῦτό μού ἐστιν τὸ
σῶμα τὸ ὑπὲρ ὑμῶν· τοῦτο ποιεῖ-
τε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

25 ὡσαύτως καὶ τὸ ποτήριον
μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο
τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν
τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε,
ὁσάκις ἐὰν πίνητε, εἰς τὴν ἐμὴν
ἀνάμνησιν·

26 ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν
ἄρτον τοῦτον καὶ τὸ ποτήριον πί-
νητε, τον θάνατον τοῦ κυρίου
καταγγέλλετε, ἄχρι οὗ ἔλθῃ.